GK 146

# NATIONAL UNIVERSITY OF IRELAND, GALWAY

## AUTUMN EXAMINATIONS, 2002

## Beginners' Greek

## GK 102; GK 103; GK 104

## Paper 1

EXAMINERS: Professor Gerard O'Daly
Professor Brian Arkins
Dr. Ann Mohr

Time allowed: **THREE** hours

**ALL** questions to be answered

1.Translate

*ΡΑΨ.* ὦ Ἡράκλεις. ὅσον ἀνθρώπων πλῆθος. πλέα γὰρ φαίνεται τὰ τείχη. διὰ τί τοσοῦτον πλῆθος ἔχει ἡ πόλις, ὦ Δικαιόπολι; οἴμοι, τί τοῦτο; πυράς τινας ὁρῶ. εἰπέ μοι, πρὸς τῶν θεῶν, τίς ἡ αἰτία; ἦ που δῆλον ὅτι δαίμων τις κακὸς κολάζει τὴν πόλιν.

*ΔΙΚ.* κακοδαίμων νὴ Δία ἡ πόλις ἐστίν, ὦ ῥαψῳδέ, κακοδαῖμον δὲ τὸ πλῆθος, κακοδαίμονες δὲ οἱ γεωργοὶ μάλιστα. αἴτιος δὲ πρῶτον μὲν ὁ πόλεμος, ἔπειτα δὲ καὶ ὁ Περικλῆς.

*ΡΑΨ.* ἀλλὰ στρατηγὸς ἄριστος ὁ Περικλῆς. ὁ γὰρ ναύτης –

*ΔΙΚ.* ἀλλὰ δῆλόν ἐστιν ὅτι φιλεῖ τὸν Περικλέα ἐκεῖνος, ναύτης ὤν. ἐγὼ δὲ ναύτης οὐκ εἰμί, ἀλλὰ γεωργός. καὶ γεωργὸς ὢν Περικλέα αἴτιον νομίζω. φησὶ γάρ – 'ἡμεῖς μὲν κρατοῦμεν κατὰ θάλατταν, Λακεδαιμόνιοι δὲ κατὰ γῆν. καταλείπετε οὖν, ὦ γεωργοί, τὰς οἰκίας καὶ τὴν γῆν, καὶ εἰσκομίζεσθε εἰς τὸ ἄστυ τὰ ὑμέτερα σκεύη. καὶ μὴ φροντίζετε. πόλις γὰρ οὐκ οἰκήσεις ἢ γῆ, ἀλλὰ ἄνδρες.'

οὕτω μὲν οὖν πείθει ἡμᾶς ὁ Περικλῆς, ῥήτωρ ὢν πιθανός. ἡμεῖς δὲ εἰσκομιζόμεθα ἐκ τῶν ἀγρῶν τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τὰ ἄλλα σκεύη. τὰ δὲ πρόβατα εἰς τὴν Εὔβοιαν διαπεμπόμεθα.

ἐπειδὴ δὲ ἡμεῖς, πολλοὶ ὄντες, ἀφικνούμεθα εἰς τὸ ἄστυ, χαλεπὸν γίγνεται τὸ πρᾶγμα. τὰς μὲν γὰρ οἰκήσεις, ὀλίγας οὔσας, ἔχουσιν οἱ ἀστοί, ἡμεῖς δὲ πρῶτον μὲν τὰ μακρὰ τείχη, ἔπειτα δὲ τὰ ἱερὰ οἰκοῦμεν. μετὰ δὲ ταῦτα ἡ νόσος ἐπιγίγνεται, καὶ δεινὴ οὖσα πολλοὺς ἄνδρας διαφθείρει καὶ πολλὰς γυναῖκας καὶ πολλὰ παιδία. διαφθείρει δὲ καὶ τοὺς ἐμοὺς οἰκείους ἡ νόσος. ὀλοφύρομαι γὰρ ἔτι καὶ νῦν τὸν ἐμὸν υἱόν, οὐκέτ' ὄντα, καὶ τὴν ἐμὴν γυναῖκα, οὐκέτ' οὖσαν. ἔχεις τὸ πρᾶγμα. ἐμὲ οὖν ὁρᾷς, ὦ ῥαψῳδέ, κακοδαίμονα ὄντα. τὴν δὲ πόλιν ὁρᾷς κακοδαίμονα δὴ οὖσαν. τοὺς δ' ἐν τῇ πόλει ὁρᾷς κακοδαίμονας ὄντας.

## 2. Translate

ἐρωτῶσιν οὖν τινες· 'ἀλλ', ὦ Σώκρατες, διὰ τί διαβάλλουσί σε οὗτοι οἱ ἄνδρες; τί ἐν νῷ ἔχουσιν; πόθεν γίγνονται αὗται αἱ διαβολαὶ καὶ ἡ δόξα ἡ σή; λέγε οὖν, καὶ δίδασκε ἡμᾶς. ἡμεῖς γὰρ οὐ βουλόμεθα διαβάλλειν σε.' βούλομαι οὖν διδάσκειν ὑμᾶς καὶ λέγειν διὰ τί διέβαλόν με οὗτοι οἱ ἄνδρες καὶ πόθεν ἐγένοντο αἱ διαβολαὶ καὶ ἡ δόξα. ἀκούετε δή. καὶ εὖ ἴστε ὅτι οὐ βούλομαι παίζειν πρὸς ὑμᾶς. ἴσως μὲν γὰρ φανοῦμαι παίζειν, εὖ μέντοι ἴστε ὅτι οὐδὲν ἄλλο ἢ τὴν ἀλήθειαν λέγειν βούλομαι.

ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ σοφίαν τινὰ τυγχάνω ἔχων τὴν δόξαν ταύτην. ἆρα βούλεσθε εἰδέναι τίς ἐστιν ἡ σοφία αὕτη; ὡς μάρτυρα βούλομαι παρέχεσθαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. ὁ γὰρ θεὸς ὁ ἐν Δελφοῖς μαρτυρήσει τὴν σοφίαν τὴν ἐμήν. καὶ μὴν ἀνάγκη ἐστὶ τὸν θεὸν λέγειν τὴν ἀλήθειαν.

Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος γὰρ ἐμὸς ἑταῖρος ἦν ἐκ νέου. καὶ ἴστε δή, ὡς σφοδρὸς ἦν ὁ Χαιρεφῶν περὶ πάντα. καὶ ὁ Χαιρεφῶν οὕτως ποτὲ ἐλογίζετο πρὸς ἑαυτόν. 'ὅτι Σωκράτης σοφός ἐστιν, εὖ οἶδα. βούλομαι δ' εἰδέναι εἴ τίς ἐστι σοφώτερος ἢ Σωκράτης. ἴσως γὰρ Σωκράτης σοφώτατός ἐστιν ἀνθρώπων. τί οὖν ποιεῖν με δεῖ; δῆλον ὅτι δεῖ με εἰς Δελφοὺς ἰέναι, καὶ μαντεύεσθαι. πολλὴ γὰρ ἀνάγκη ἐστὶ τὸν θεὸν τὴν ἀλήθειαν λέγειν.'

ᾔει οὖν ὁ Χαιρεφῶν εἰς Δελφούς, καὶ ταύτην τὴν μαντείαν ἐμαντεύσατο παρὰ τῷ θεῷ. καὶ μὴ θορυβεῖτε, ὦνδρες. ἤρετο γὰρ δὴ εἴ τίς ἐστι σοφώτερος ἢ Σωκράτης, ἀπεκρίνατο δ' ἡ Πυθία ὅτι οὐδείς ἐστι σοφώτερος.

---

## 3. Translate

ὁ δὲ Στέφανος οὑτοσὶ εἰς μεγίστην ἐλπίδα κατέστησε Νέαιραν ἐν τοῖς Μεγάροις τῷ λόγῳ. ἐκόμπαζε γὰρ τὸν μὲν Φρυνίωνα οὐχ ἅψεσθαι αὐτῆς οὐδέποτε, αὐτὸς δὲ γυναῖκα αὐτὴν ἕξειν. ἔφη δὲ καὶ τοὺς παῖδας αὐτῆς εἰσαχθήσεσθαι εἰς τοὺς φράτερας ὡς αὑτοῦ ὄντας, καὶ πολίτας γενήσεσθαι, ἀδικηθήσεσθαι δ' αὐτὴν ὑπ' οὐδενὸς ἀνθρώπων. ταῦτα δ' εἰπών, ἀφικνεῖται αὐτὴν ἔχων δεῦρο ἐκ τῶν Μεγάρων, καὶ παιδία μετ' αὐτῆς τρία, Πρόξενον καὶ Ἀρίστωνα καὶ παῖδα κόρην, ἣ νυνὶ Φανὼ καλεῖται.

καὶ εἰσάγει αὐτὴν καὶ τὰ παιδία εἰς τὸ οἰκίδιον ὃ ἦν αὐτῷ Ἀθήνησι παρὰ τὸν ψιθυριστὴν Ἑρμῆν, μεταξὺ τῆς Δωροθέου τοῦ Ἐλευσινίου οἰκίας καὶ τῆς Κλεινομάχου. δυοῖν δὲ ἕνεκα ἦλθεν ἔχων αὐτήν, ὡς ἐξ ἀτελείας ἕξων καλὴν ἑταίραν καὶ ὡς ἐργασομένην αὐτὴν καὶ θρέψουσαν τὴν οἰκίαν. εὖ γὰρ ᾔδει Στέφανος ἄλλην πρόσοδον οὐκ ἔχων οὐδὲ βίον, εἰ μή τι λαβὼν διὰ τὴν συκοφαντίαν. ὁ δὲ Φρυνίων, πυθόμενος Νέαιραν ἐπιδημοῦσαν καὶ οὖσαν παρὰ Στεφάνῳ, παραλαβὼν νεανίσκους μεθ' αὑτοῦ, ἦλθεν ἐπὶ τὴν οἰκίαν τὴν τοῦ Στεφάνου, ὡς ἄξων αὐτήν. ἀφαιρουμένου δὲ αὐτὴν τοῦ Στεφάνου κατὰ τὸν νόμον εἰς ἐλευθερίαν, κατηγγύησεν αὐτὴν ὁ Φρυνίων πρὸς τῷ πολεμάρχῳ, ἡγούμενος αὐτὴν δούλην εἶναι αὑτῷ, τὰ χρήματα ὑπὲρ αὐτῆς καταθέντι.

4.Translate

κυνεῖ δὲ προσπίτνουσα, πᾶν δὲ δέμνιον
ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
στείχει προνωπὴς ἐκπεσοῦσα δεμνίων,

καὶ πολλὰ θαλάμων ἐξιοῦσ' ἐπεστράφη
κἄρριψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι
ἔκλαιον· ἣ δὲ λαμβάνουσ' ἐς ἀγκάλας
ἠσπάζετ' ἄλλοτ' ἄλλον, ὡς θανουμένη.
πάντες δ' ἔκλαιον οἰκέται κατὰ στέγας
δέσποιναν οἰκτίροντες. ἣ δὲ δεξιὰν
προὔτειν' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς
ὃν οὐ προσεῖπε καὶ προσερρήθη πάλιν.
τοιαῦτ' ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
καὶ κατθανὼν τἂν ὤλετ', ἐκφυγὼν δ' ἔχει
τοσοῦτον ἄλγος, οὗ ποτ' οὐ λελήσεται.